# I TIMOTHY


© David G Palmer

# I TIMOTHY

The structure of this letter is a seven section chiasm, here represented by ABB'XABB', where the first ABB' is 46vv. and the closing ABB' is 46vv., around a central Section of 17vv., where each Section comprises parts ABB' and each of these parts further break down into three parts, abb', which, in the main, further break down into three parts each, .a.b.b'.

**1.1-2** (abb') **Introductory Greetings:** from Paul; to Timothy; grace, mercy, peace

| | | | | |
|---|---|---|---|---|
| **1.3-17** | **Section A** | (15 verses) | | **Timothy's Task: to Warn those who 'teach differently'** |
| A (9 verses) | A A | 1.3-4 | (abb') | Timothy in Ephesus: he is to charge some not to teach differently |
| | B | 1.5-7 | (abb') | The end of the charge is love; not turned aside; law teachers |
| | B' | 1.8-11 | ( // ) | The law is good, used lawfully |
| B (3 verses) | B | 1.12-14 | | Paul thanks Christ who empowers him and has transformed him |
| B' (3 verses) | B' | 1.15-17 | | 'Faithful the word', 'Jesus came into the world to save sinners'; Paul: chief sinner |

| | | | | |
|---|---|---|---|---|
| **1.18-2.15** | **Section B** | (18 verses) | | **Church Rules on Prayer** |
| A (3 verses) | A | 1.18-20 | (abb') | 'This charge…Son Timothy', according to prophecies, a good warfare/conscience |
| B (7 verses) | B A | 2.1-2 | ( // ) | An exhortation on prayers of all kinds |
| | B | 2.3-4 | | 'This is good…'; God wishes that all be saved |
| | B' | 2.5-7 | | One mediator, a ransom; Paul teacher of Gentiles |
| B' (8 verses) | B' A | 2.8-10 | | The way men and women should pray and women deport themselves |
| | B | 2.11-12 | | Women are to learn in silence |
| | B' | 2.13-15 | | Women will be saved through child-bearing, remaining in faith and love |

| | | | | |
|---|---|---|---|---|
| **3.1-13** | **Section B'** | (13 verses) | | **Rules on Church Appointments** |
| A (1 verse) | A | 3.1 | ( // ) | 'Faithful the word…' oversight: |
| B (6 verses) | B | 3.2-7 | | Bishops, their qualities; ruling his household well; not a new convert |
| B' (6 verses) | B' | 3.8-13 | | Deacons: similar qualities; their wives' qualities; deacons ruling households |

| | | | | |
|---|---|---|---|---|
| **3.14-4.14** | **Section X** | (17 verses) | | **Conduct in the Household of God; be a Good Minister** |
| A (3 verses) | A | 3.14-16 | | 'These things I write to you, hoping to come…'; concerning God's household |
| B (10 verses) | B A | 4.1-5 | ( // ) | The Spirit: in the latter days, some will depart from faith and truth |
| | B | 4.6-8 | | 'These things suggesting…', a good minister of Christ; on 'exercising' |
| | B' | 4.9-10 | | 'Faithful the word…', labour and struggle, hope on God, the Saviour of all |
| B' (4 verses) | B' A | 4.11-12 | | Charge these things and teach…', be a pattern, though young |
| | B | 4.13 | | Until I come, attend to the reading... |
| | B' | 4.14 | | Do not neglect your gift… |

| | | | | |
|---|---|---|---|---|
| **4.15-5.16** | **Section A** | (18 verses) | | **Rules on Church Listings of Widows** |
| A (2 verses) | A | 4.15-16 | | 'These things attend to...', take heed to yourself and teaching |
| B (8 verses) | B A | 5.1-3 | ( // ) | Older/younger men/women; widows - 'really widows' |
| | B | 5.4-6 | | But if a widow has children; the 'really widow'; the one living wantonly |
| | B' | 5.7-8 | | 'And these things charge…'; without reproach…; faith denied… |
| B (8 verses) | B' A | 5.9-10 | | Let widows be listed, not less than sixty years… |
| | B | 5.11-13 | | Younger widows refuse; various reasons are given |
| | B' | 5.14-16 | | Younger widows are to marry… believers with widows to support them, not the church |

| | | | | |
|---|---|---|---|---|
| **5.17-6.2c** | **Section B** | (<11 verses) | | **Church Rules on Elders, Sinners, Laying on of Hands…** |
| A (6 verses) | A A | 5.17-18 | ( // ) | Elders who rule well deserve double stipend |
| | B | 5.19-20 | | If an elder is accused, reprove before everyone as a warning |
| | B' | 5.21-22 | | Do not prejudge; do not be quick to lay hands on anyone, keep yourself pure |
| B (3 verses) | B | 5.23-25 | | Drink a little wine; some sins are clear beforehand, good works too |
| B' (2 verses) | B | 6.1-2c | | Slaves, their masters and believing masters |

| | | | | |
|---|---|---|---|---|
| **6.2d-19** | **Section B'** | (>17 verses) | | **Those 'teaching differently' and Real Wealth** |
| A (6 verses) | A A | 6.2d | ( // ) | 'These things teach and exhort'; |
| | B | 6.3-5 | | If any teach differently, they are puffed up, supposing gain |
| | B' | 6.6-8 | | Piety…. great gain; nothing in/nothing out of this world; |
| B (2 verses) | B | 6.9-10 | | Those resolving to be rich…; '…the root of evil…' |
| B' (9 verses) | B' A | 6.11-12 | | 'But you, O man of God, flee these things', lay hold on eternal life |
| | B | 6.13-16 | | 'I charge before God, the one giving life…', be without reproach |
| | B' | 6.17-19 | | 'To the rich in the present…', charge not to be high minded… |

**6.20-21** (abb') **Closing Plea and Grace:** 'O Timothy, guard the deposit…', from empty and false knowledge


**© David G Palmer**

# I TIMOTHY

## Contents

I TIMOTHY ........ 1
I TIMOTHY ........ 2
I TIMOTHY ........ 3
Contents ........ 3
INTRODUCTORY GREETINGS: 1.1-2 ........ 3
SECTION A: 1.3-17 ........ 4
SECTION B: 1.18-2.15 ........ 6
SECTION B’: 3.1-13 ........ 8
SECTION X: 3.14-4.14 ........ 9
SECTION A: 4.15-5.16 ........ 11
SECTION B: 5.17-6.2c ........ 13
SECTION B’: 6.2d-19 ........ 15
CLOSING PLEA AND GRACE: 6.20-21 ........ 17

# INTRODUCTORY GREETINGS: 1.1-2

| | | | |
|---|---|---|---|
| 1.1-1.2 | *Παῦλος*<br>*ἀπόστολος*<br>*Χριστοῦ Ἰησοῦ*<br>*κατ’ ἐπιταγὴν*<br>*θεοῦ*<br>*σωτῆρος ἡμῶν*<br>*καὶ Χριστοῦ Ἰησοῦ*<br>*τῆς ἐλπίδος*<br>*ἡμῶν*<br>*Τιμοθέῳ*<br>*γνησίῳ τέκνῳ*<br>*ἐν πίστει·*<br>*χάρις,*<br>*ἔλεος,*<br>*εἰρήνη*<br>*ἀπὸ θεοῦ πατρὸς*<br>*καὶ Χριστοῦ Ἰησοῦ*<br>*τοῦ κυρίου*<br>*ἡμῶν.* | | |

# SECTION A: 1.3-17

| | | | |
|---|---|---|---|
| 1.3-<br>1.4 | Καθὼς παρεκάλεσά σε προσμεῖναι ἐν Ἐφέσῳ<br>πορευόμενος εἰς Μακεδονίαν,<br>ἵνα παραγγείλῃς τισὶν<br>μὴ ἑτεροδιδασκαλεῖν [4]<br>μηδὲ προσέχειν<br>μύθοις<br>καὶ γενεαλογίαις ἀπεράντοις,<br>αἵτινες ἐκζητήσεις παρέχουσιν<br>μᾶλλον ἢ οἰκονομίαν θεοῦ τὴν ἐν πίστει· [5] | A | A |
| 1.5-<br>1.7 | τὸ δὲ τέλος τῆς παραγγελίας ἐστὶν ἀγάπη<br>ἐκ καθαρᾶς καρδίας ) the first clear threesome<br>καὶ συνειδήσεως ἀγαθῆς )<br>καὶ πίστεως ἀνυποκρίτου, [6] )<br>ὧν τινες ἀστοχήσαντες<br>ἐξετράπησαν<br>εἰς ματαιολογίαν, [7]<br>θέλοντες εἶναι νομοδιδάσκαλοι,<br>μὴ νοοῦντες<br>μήτε ἃ λέγουσιν<br>μήτε περὶ τίνων διαβεβαιοῦνται.[8] | B | |
| 1.8-<br>1.11 | Οἴδαμεν δὲ<br>ὅτι καλὸς ὁ νόμος<br>ἐάν τις αὐτῷ νομίμως χρῆται, [9]<br>εἰδὼς τοῦτο,<br>ὅτι δικαίῳ νόμος οὐ κεῖται,<br>ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις, ) a listing<br>ἀσεβέσι καὶ ἁμαρτωλοῖς, ) of ‘seven’ pairs<br>ἀνοσίοις καὶ βεβήλοις, )<br>πατρολῴαις καὶ μητρολῴαις, )<br>ἀνδροφόνοις, πόρνοις, )<br>ἀρσενοκοίταις, ἀνδραποδισταῖς, )<br>ψεύσταις, ἐπιόρκοις, )<br>καὶ εἴ τι ἕτερον<br>τῇ ὑγιαινούσῃ διδασκαλίᾳ<br>ἀντίκειται, [11]<br>κατὰ τὸ εὐαγγέλιον<br>τῆς δόξης<br>τοῦ μακαρίου θεοῦ,<br>ὃ ἐπιστεύθην ἐγώ. | B’ | |
| 1.12-<br>1.14 | Χάριν ἔχω τῷ ἐνδυναμώσαντί με<br>Χριστῷ Ἰησοῦ<br>τῷ κυρίῳ ἡμῶν,<br>ὅτι πιστόν<br>με ἡγήσατο<br>θέμενος εἰς διακονίαν, [13]<br>τὸ πρότερον ὄντα βλάσφημον ) another threesome<br>καὶ διώκτην )<br>καὶ ὑβριστήν· )<br>ἀλλὰ ἠλεήθην,<br>ὅτι ἀγνοῶν<br>ἐποίησα ἐν ἀπιστίᾳ, [14]<br>ὑπερεπλεόνασεν δὲ<br>ἡ χάρις τοῦ κυρίου ἡμῶν | | B |

| | | | |
|---|---|---|---|
| | *μετὰ πίστεως*<br>*καὶ ἀγάπης*<br>*τῆς ἐν Χριστῷ Ἰησοῦ.*[15] | | |
| 1.15-1.17 | *πιστὸς ὁ λόγος*<br>*καὶ πάσης ἀποδοχῆς*<br>*ἄξιος,*<br>*ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν*<br>*εἰς τὸν κόσμον*<br>*ἁμαρτωλοὺς σῶσαι·*<br>*ὧν πρῶτός εἰμι ἐγώ,* [16]<br>*ἀλλὰ διὰ τοῦτο*<br>*ἠλεήθην,*<br>*ἵνα ἐν ἐμοὶ πρώτῳ*<br>*ἐνδείξηται Χριστὸς Ἰησοῦς*<br>*τὴν ἅπασαν μακροθυμίαν,*<br>*πρὸς ὑποτύπωσιν τῶν μελλόντων*<br>*πιστεύειν ἐπ' αὐτῷ*<br>*εἰς ζωὴν αἰώνιον.* [17]<br>*τῷ δὲ βασιλεῖ τῶν αἰώνων,*<br>*ἀφθάρτῳ,* ) another threesome<br>*ἀοράτῳ,* )<br>*μόνῳ θεῷ,* )<br>*τιμὴ καὶ δόξα*<br>*εἰς τοὺς αἰῶνας τῶν αἰώνων·*<br>*ἀμήν.*[18] | | B' |

# SECTION B: 1.18-2.15

| | | | |
|---|---|---|---|
| 1.18-1.20 | Ταύτην τὴν παραγγελίαν<br>παρατίθεμαί σοι,<br>τέκνον Τιμόθεε,<br>κατὰ τὰς προαγούσας<br>ἐπὶ σὲ<br>προφητείας,<br>ἵνα στρατεύῃ<br>ἐν αὐταῖς<br>τὴν καλὴν στρατείαν, [19]<br>ἔχων πίστιν<br>καὶ ἀγαθὴν συνείδησιν,<br>ἥν τινες ἀπωσάμενοι<br>περὶ τὴν πίστιν<br>ἐναυάγησαν· [20]<br>ὧν ἐστιν<br>῾Υμέναιος<br>καὶ Ἀλέξανδρος,<br>οὓς παρέδωκα τῷ Σατανᾷ<br>ἵνα παιδευθῶσιν<br>μὴ βλασφημεῖν. | | A |
| 2.1-2.2 | Παρακαλῶ οὖν<br>πρῶτον πάντων<br>ποιεῖσθαι δεήσεις,<br>προσευχάς, ἐντεύξεις, εὐχαριστίας,<br>ὑπὲρ πάντων ἀνθρώπων, [2]<br>ὑπὲρ βασιλέων<br>καὶ πάντων<br>τῶν ἐν ὑπεροχῇ ὄντων,<br>ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν<br>ἐν πάσῃ εὐσεβείᾳ<br>καὶ σεμνότητι. [3] | A | B |
| 2.3-2.4 | τοῦτο<br>καλὸν<br>καὶ ἀπόδεκτον<br>ἐνώπιον τοῦ σωτῆρος ἡμῶν<br>θεοῦ, [4]<br>ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι<br>καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. [5] | B | |
| 2.5-2.7 | εἷς γὰρ θεός,<br>εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων,<br>ἄνθρωπος Χριστὸς Ἰησοῦς, [6]<br>ὁ δοὺς ἑαυτὸν<br>ἀντίλυτρον ὑπὲρ πάντων,<br>τὸ μαρτύριον καιροῖς ἰδίοις· [7]<br>εἰς ὃ ἐτέθην ἐγὼ κῆρυξ<br>καὶ ἀπόστολος,<br>ἀλήθειαν λέγω,<br>οὐ ψεύδομαι,<br>διδάσκαλος ἐθνῶν<br>ἐν πίστει<br>καὶ ἀληθείᾳ. | B’ | |
| 2.8-2.10 | Βούλομαι οὖν<br>προσεύχεσθαι | A | B’ |


**© David G Palmer**

| | | | |
|---|---|---|---|
| | τοὺς ἄνδρας<br>ἐν παντὶ τόπῳ,<br>ἐπαίροντας ὁσίους χεῖρας<br>χωρὶς ὀργῆς<br>καὶ διαλογισμοῦ·<br>ὡσαύτως καὶ γυναῖκας<br>ἐν καταστολῇ<br>κοσμίῳ<br>μετὰ αἰδοῦς καὶ σωφροσύνης<br>κοσμεῖν<br>ἑαυτάς,<br>μὴ ἐν πλέγμασιν καὶ χρυσίῳ ) a threesome<br>ἢ μαργαρίταις )<br>ἢ ἱματισμῷ πολυτελεῖ, [10] )<br>ἀλλ’ ὃ πρέπει γυναιξὶν<br>ἐπαγγελλομέναις θεοσέβειαν,<br>δι’ ἔργων ἀγαθῶν.[11] | | |
| 2.11-2.12 | γυνὴ<br>ἐν ἡσυχίᾳ μανθανέτω<br>ἐν πάσῃ ὑποταγῇ· [12]<br>διδάσκειν δὲ γυναικὶ<br>οὐκ ἐπιτρέπω,<br>οὐδὲ αὐθεντεῖν ἀνδρός,<br>ἀλλ’ εἶναι<br>ἐν ἡσυχίᾳ. [13] | B | |
| 2.13-2.15 | ’Αδὰμ γὰρ πρῶτος ἐπλάσθη,<br>εἶτα Εὕα· [14]<br>καὶ ’Αδὰμ οὐκ ἠπατήθη,<br>ἡ δὲ γυνὴ ἐξαπατηθεῖσα<br>ἐν παραβάσει γέγονεν. [15]<br>σωθήσεται δὲ<br>διὰ τῆς τεκνογονίας,<br>ἐὰν μείνωσιν<br>ἐν πίστει καὶ ἀγάπῃ<br>καὶ ἁγιασμῷ μετὰ σωφροσύνης. | B’ | |

# SECTION B’: 3.1-13

| | | | |
|---|---|---|---|
| 3.1 | *Πιστὸς ὁ λόγος·*<br>*εἴ τις ἐπισκοπῆς ὀρέγεται,*<br>*καλοῦ ἔργου ἐπιθυμεῖ.* [2] | | A |
| 3.2-<br>3.3 | *Δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίλημπτον εἶναι,*<br>*μιᾶς γυναικὸς ἄνδρα, νηφάλιον, σώφρονα,* ) in threes again<br>*κόσμιον, φιλόξενον, διδακτικόν,* [3] )<br>*μὴ πάροινον,*<br>*μὴ πλήκτην,*<br>*ἀλλὰ ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον,* [4] ) a threesome | A | B |
| 3.4-<br>3.5 | *τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον,*<br>*τέκνα ἔχοντα ἐν ὑποταγῇ*<br>*μετὰ πάσης σεμνότητος·* [5]<br>*εἰ δέ τις*<br>*τοῦ ἰδίου οἴκου*<br>*προστῆναι οὐκ οἶδεν,*<br>*πῶς*<br>*ἐκκλησίας θεοῦ*<br>*ἐπιμελήσεται;* [6] | B | |
| 3.6-<br>3.7 | *μὴ νεόφυτον,*<br>*ἵνα μὴ τυφωθεὶς*<br>*εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου.* [7]<br>*δεῖ δὲ καὶ*<br>*μαρτυρίαν καλὴν ἔχειν*<br>*ἀπὸ τῶν ἔξωθεν,*<br>*ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ*<br>*καὶ παγίδα τοῦ διαβόλου.* | B’ | |
| 3.8-<br>3.9 | *Διακόνους ὡσαύτως σεμνούς,*<br>*μὴ διλόγους,*<br>*μὴ οἴνῳ πολλῷ προσέχοντας,*<br>*μὴ αἰσχροκερδεῖς,* [9]<br>*ἔχοντας τὸ μυστήριον τῆς πίστεως*<br>*ἐν καθαρᾷ συνειδήσει.* [10] | A | B’ |
| 3.10-<br>3.11 | *καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον,*<br>*εἶτα διακονείτωσαν*<br>*ἀνέγκλητοι ὄντες.*[11]<br>*γυναῖκας ὡσαύτως σεμνάς,*<br>*μὴ διαβόλους,*<br>*νηφαλίους,*<br>*πιστὰς ἐν πᾶσιν.* | B | |
| 3.12-<br>3.13 | *διάκονοι ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες,*<br>*τέκνων*<br>*καλῶς προϊστάμενοι*<br>*καὶ τῶν ἰδίων οἴκων·* [13]<br>*οἱ γὰρ καλῶς διακονήσαντες*<br>*βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται*<br>*καὶ πολλὴν παρρησίαν*<br>*ἐν πίστει*<br>*τῇ ἐν Χριστῷ Ἰησοῦ.*[14] | B’ | |

# SECTION X: 3.14-4.14

| | | | |
|---|---|---|---|
| 3.14-3.16 | *Ταῦτά σοι γράφω,*<br>*ἐλπίζων ἐλθεῖν πρὸς σὲ ἐν τάχει·* [15]<br>*ἐὰν δὲ βραδύνω,*<br>*ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ θεοῦ ἀναστρέφεσθαι,*<br>*ἥτις ἐστὶν ἐκκλησία θεοῦ ζῶντος,*<br>*στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας.* [16]<br>*καὶ ὁμολογουμένως μέγα ἐστὶν τὸ τῆς εὐσεβείας μυστήριον·*<br>*Ὃς ἐφανερώθη ἐν σαρκί,* )<br>*ἐδικαιώθη ἐν πνεύματι,* ) a pair of threes<br>*ὤφθη ἀγγέλοις,* )<br>*ἐκηρύχθη ἐν ἔθνεσιν,* )<br>*ἐπιστεύθη ἐν κόσμῳ,* )<br>*ἀνελήμφθη ἐν δόξῃ.* ) | | A |
| 4.1-4.5 | *Τὸ δὲ πνεῦμα ῥητῶς λέγει*<br>*ὅτι ἐν ὑστέροις καιροῖς*<br>*ἀποστήσονταί τινες*<br>*τῆς πίστεως,*<br>*προσέχοντες*<br>*πνεύμασιν πλάνοις*<br>*καὶ διδασκαλίαις δαιμονίων,* [2]<br>*ἐν ὑποκρίσει ψευδολόγων,*<br>*κεκαυστηριασμένων τὴν ἰδίαν συνείδησιν,* [3]<br>*κωλυόντων γαμεῖν,*<br>*ἀπέχεσθαι βρωμάτων*<br>*ἃ ὁ θεὸς ἔκτισεν*<br>*εἰς μετάλημψιν*<br>*μετὰ εὐχαριστίας*<br>*τοῖς πιστοῖς*<br>*καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν.* [4]<br>*ὅτι πᾶν κτίσμα θεοῦ καλόν,*<br>*καὶ οὐδὲν ἀπόβλητον*<br>*μετὰ εὐχαριστίας*<br>*λαμβανόμενον,* [5]<br>*ἁγιάζεται γὰρ*<br>*διὰ λόγου θεοῦ*<br>*καὶ ἐντεύξεως.*[6] | A | B |
| 4.6-4.8 | *Ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς*<br>*καλὸς ἔσῃ διάκονος Χριστοῦ Ἰησοῦ,*<br>*ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως*<br>*καὶ τῆς καλῆς διδασκαλίας*<br>*ᾗ παρηκολούθηκας·* [7]<br>*τοὺς δὲ βεβήλους*<br>*καὶ γραώδεις μύθους*<br>*παραιτοῦ.*<br>*γύμναζε δὲ*<br>*σεαυτὸν*<br>*πρὸς εὐσέβειαν·* [8]<br>*ἡ γὰρ σωματικὴ γυμνασία*<br>*πρὸς ὀλίγον*<br>*ἐστὶν ὠφέλιμος,* ) parallels signified by<br>*ἡ δὲ εὐσέβεια*<br>*πρὸς πάντα*<br>*ὠφέλιμός ἐστιν,* ) rhetorical reversal of words | B | |

| | | | |
|---|---|---|---|
| | *ἐπαγγελίαν ἔχουσα ζωῆς*<br>*τῆς νῦν*<br>*καὶ τῆς μελλούσης.*[9] | | |
| 4.9-4.10 | *πιστὸς ὁ λόγος*<br>*καὶ πάσης ἀποδοχῆς*<br>*ἄξιος·* [10]<br>*εἰς τοῦτο γὰρ*<br>*κοπιῶμεν*<br>*καὶ ἀγωνιζόμεθα,*<br>*ὅτι ἠλπίκαμεν ἐπὶ θεῷ ζῶντι,*<br>*ὅς ἐστιν σωτὴρ πάντων ἀνθρώπων,*<br>*μάλιστα πιστῶν.* | B’ | |
| 4.11-4.12 | *Παράγγελλε*<br>*ταῦτα*<br>*καὶ δίδασκε.* [12]<br>*μηδείς σου*<br>*τῆς νεότητος*<br>*καταφρονείτω,*<br>*ἀλλὰ τύπος γίνου*<br>*τῶν πιστῶν*<br>*ἐν λόγῳ,* ) another listing<br>*ἐν ἀναστροφῇ,* )<br>*ἐν ἀγάπῃ,* )<br>*ἐν πίστει,* )<br>*ἐν ἁγνείᾳ.* [13] ) | A | B’ |
| 4.13 | *Ἕως ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει,*<br>*τῇ παρακλήσει,*<br>*τῇ διδασκαλίᾳ.* [14] | B | |
| 4.14 | *Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος,*<br>*ὃ ἐδόθη σοι*<br>*διὰ προφητείας*<br>*μετὰ ἐπιθέσεως*<br>*τῶν χειρῶν*<br>*τοῦ πρεσβυτερίου.*[15] | B’ | |

# SECTION A: 4.15-5.16

| | | | |
|---|---|---|---|
| 4.15-4.16 | *ταῦτα μελέτα,*<br>*ἐν τούτοις ἴσθι,*<br>*ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ πᾶσιν.* [16]<br>*ἔπεχε σεαυτῷ*<br>*καὶ τῇ διδασκαλίᾳ·*<br>*ἐπίμενε αὐτοῖς·*<br>*τοῦτο γὰρ ποιῶν*<br>*καὶ σεαυτὸν σώσεις*<br>*καὶ τοὺς ἀκούοντάς σου.* | | A |
| 5.1-5.3 | *Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς,*<br>*ἀλλὰ παρακάλει ὡς πατέρα,*<br>*νεωτέρους ὡς ἀδελφούς,* [2]<br>*πρεσβυτέρας ὡς μητέρας,*<br>*νεωτέρας ὡς ἀδελφὰς*<br>*ἐν πάσῃ ἁγνείᾳ.*<br>*Χήρας*<br>*τίμα τὰς ὄντως χήρας.* [4] | A | B |
| 5.4-5.6 | *εἰ δέ τις χήρα*<br>*τέκνα ἢ ἔκγονα*<br>*ἔχει,*<br>*μανθανέτωσαν πρῶτον*<br>*τὸν ἴδιον οἶκον εὐσεβεῖν*<br>*καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις,*<br>*τοῦτο γάρ ἐστιν*<br>*ἀπόδεκτον*<br>*ἐνώπιον τοῦ θεοῦ.* [5]<br>*ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη*<br>*ἤλπικεν ἐπὶ θεὸν*<br>*καὶ προσμένει*<br>*ταῖς δεήσεσιν καὶ ταῖς προσευχαῖς*<br>*νυκτὸς καὶ ἡμέρας·* [6]<br>*ἡ δὲ σπαταλῶσα*<br>*ζῶσα*<br>*τέθνηκεν.* [7] | B | |
| 5.7-5.8 | *καὶ ταῦτα παράγγελλε,*<br>*ἵνα ἀνεπίλημπτοι ὦσιν.* [8]<br>*εἰ δέ τις τῶν ἰδίων*<br>*καὶ μάλιστα οἰκείων*<br>*οὐ προνοεῖ,*<br>*τὴν πίστιν ἤρνηται*<br>*καὶ ἔστιν ἀπίστου χείρων.* | B’ | |
| 5.9-5.10 | *Χήρα καταλεγέσθω*<br>*μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα,*<br>*ἑνὸς ἀνδρὸς γυνή,* [10]<br>*ἐν ἔργοις καλοῖς μαρτυρουμένη,*<br>*εἰ ἐτεκνοτρόφησεν,* ) another listing<br>*εἰ ἐξενοδόχησεν,* )<br>*εἰ ἁγίων πόδας ἔνιψεν,* )<br>*εἰ θλιβομένοις ἐπήρκεσεν,* )<br>*εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν.*[11] ) | A | B’ |
| 5.11-5.13 | *νεωτέρας δὲ χήρας*<br>*παραιτοῦ·*<br>*ὅταν γὰρ καταστρηνιάσωσιν τοῦ Χριστοῦ,* | B | |

| | | | |
|---|---|---|---|
| | *γαμεῖν θέλουσιν,* 12<br>*ἔχουσαι κρίμα*<br>*ὅτι τὴν πρώτην πίστιν*<br>*ἠθέτησαν·* 13<br>*ἅμα δὲ καὶ*<br>*ἀργαὶ μανθάνουσιν,*<br>*περιερχόμεναι τὰς οἰκίας,*<br>*οὐ μόνον δὲ ἀργαὶ*<br>*ἀλλὰ καὶ φλύαροι*<br>*καὶ περίεργοι,*<br>*λαλοῦσαι τὰ μὴ δέοντα.* 14 | | |
| 5.14-5.16 | *βούλομαι οὖν νεωτέρας γαμεῖν,*<br>*τεκνογονεῖν,*<br>*οἰκοδεσποτεῖν,*<br>*μηδεμίαν ἀφορμὴν διδόναι*<br>*τῷ ἀντικειμένῳ*<br>*λοιδορίας χάριν·* 15<br>*ἤδη γάρ τινες*<br>*ἐξετράπησαν*<br>*ὀπίσω τοῦ Σατανᾶ.*<br>*εἴ τις πιστὴ ἔχει χήρας,*<br>*ἐπαρκείτω αὐταῖς,*<br>*καὶ μὴ βαρείσθω ἡ ἐκκλησία,*<br>*ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ.* | B’ | |

## SECTION B: 5.17-6.2c

| | | | |
|---|---|---|---|
| 5.17-5.18 | *Οἱ καλῶς προεστῶτες πρεσβύτεροι*<br>*διπλῆς τιμῆς*<br>*ἀξιούσθωσαν,*<br>*μάλιστα οἱ κοπιῶντες*<br>*ἐν λόγῳ*<br>*καὶ διδασκαλίᾳ·* [18]<br>*λέγει γὰρ ἡ γραφή,*<br>*Βοῦν ἀλοῶντα οὐ φιμώσεις·*<br>*καί, Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ.* [19] | A | A |
| 5.19-5.20 | *κατὰ πρεσβυτέρου*<br>*κατηγορίαν μὴ παραδέχου,*<br>*ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων.* [20]<br>*τοὺς ἁμαρτάνοντας*<br>*ἐνώπιον πάντων*<br>*ἔλεγχε,*<br>*ἵνα καὶ οἱ λοιποὶ*<br>*φόβον*<br>*ἔχωσιν.*[21] | B | |
| 5.21-5.22 | *Διαμαρτύρομαι ἐνώπιον τοῦ θεοῦ*<br>*καὶ Χριστοῦ Ἰησοῦ*<br>*καὶ τῶν ἐκλεκτῶν ἀγγέλων,*<br>*ἵνα ταῦτα φυλάξῃς*<br>*χωρὶς προκρίματος,*<br>*μηδὲν ποιῶν κατὰ πρόσκλισιν.*[22]<br>*Χεῖρας ταχέως μηδενὶ ἐπιτίθει,*<br>*μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις·*<br>*σεαυτὸν ἁγνὸν τήρει.* | B' | |
| 5.23-5.25 | *Μηκέτι ὑδροπότει,*<br>*ἀλλὰ οἴνῳ*<br>*ὀλίγῳ χρῶ*<br>*διὰ τὸν στόμαχον*<br>*καὶ τὰς πυκνάς σου ἀσθενείας.*<br>*Τινῶν ἀνθρώπων*<br>*αἱ ἁμαρτίαι*<br>*πρόδηλοί εἰσιν,*<br>*προάγουσαι εἰς κρίσιν,*<br>*τισὶν δὲ καὶ ἐπακολουθοῦσιν·* [25]<br>*ὡσαύτως καὶ*<br>*τὰ ἔργα τὰ καλὰ*<br>*πρόδηλα,*<br>*καὶ τὰ ἄλλως ἔχοντα*<br>*κρυβῆναι οὐ δύνανται.*[1] | | B |
| 6.1-6.2c | *Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι,*<br>*τοὺς ἰδίους δεσπότας*<br>*πάσης τιμῆς ἀξίους*<br>*ἡγείσθωσαν,*<br>*ἵνα μὴ τὸ ὄνομα τοῦ θεοῦ*<br>*καὶ ἡ διδασκαλία*<br>*βλασφημῆται.* [2]<br>*οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας*<br>*μὴ καταφρονείτωσαν,*<br>*ὅτι ἀδελφοί εἰσιν·*<br>*ἀλλὰ μᾶλλον δουλευέτωσαν,* | | B' |

| | | | |
|---|---|---|---|
| | ὅτι πιστοί εἰσιν καὶ ἀγαπητοὶ<br>οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. | | |


© David G Palmer

# SECTION B’: 6.2d-19

| | | | |
|---|---|---|---|
| 6.2d | *ταῦτα*<br>*δίδασκε*<br>*καὶ παρακάλει.*[3] | A | A |
| 6.3-6.5 | *εἴ τις ἑτεροδιδασκαλεῖ*<br>*καὶ μὴ προσέρχεται*<br>*ὑγιαίνουσιν λόγοις,*<br>*τοῖς*<br>*τοῦ κυρίου ἡμῶν*<br>*Ἰησοῦ Χριστοῦ,*<br>*καὶ τῇ*<br>*κατ’ εὐσέβειαν*<br>*διδασκαλίᾳ,* [4]<br>*τετύφωται,*<br>*μηδὲν*<br>*ἐπιστάμενος,*<br>*ἀλλὰ νοσῶν*<br>*περὶ ζητήσεις*<br>*καὶ λογομαχίας,*<br>*ἐξ ὧν γίνεται φθόνος,*<br>*ἔρις, βλασφημίαι, ὑπόνοιαι πονηραί,* [5]<br>*διαπαρατριβαὶ*<br>*διεφθαρμένων*<br>*ἀνθρώπων*<br>*τὸν νοῦν*<br>*καὶ ἀπεστερημένων*<br>*τῆς ἀληθείας,*<br>*νομιζόντων πορισμὸν*<br>*εἶναι*<br>*τὴν εὐσέβειαν.* | B | |
| 6.6-6.8 | *ἔστιν δὲ πορισμὸς μέγας*<br>*ἡ εὐσέβεια*<br>*μετὰ αὐταρκείας·* [7]<br>*οὐδὲν γὰρ εἰσηνέγκαμεν*<br>*εἰς τὸν κόσμον,*<br>*ὅτι οὐδὲ ἐξενεγκεῖν τι*<br>*δυνάμεθα·* [8]<br>*ἔχοντες δὲ*<br>*διατροφὰς*<br>*καὶ σκεπάσματα,*<br>*τούτοις*<br>*ἀρκεσθησόμεθα.* [9] | B‘ | |
| 6.9-6.10 | *οἱ δὲ βουλόμενοι πλουτεῖν,*<br>*ἐμπίπτουσιν*<br>*εἰς πειρασμὸν καὶ παγίδα*<br>*καὶ ἐπιθυμίας πολλὰς.*<br>*ἀνοήτους*<br>*καὶ βλαβεράς,*<br>*αἵτινες βυθίζουσιν*<br>*τοὺς ἀνθρώπους*<br>*εἰς ὄλεθρον καὶ ἀπώλειαν·* [10]<br>*ῥίζα γὰρ*<br>*πάντων τῶν κακῶν*<br>*ἐστιν ἡ φιλαργυρία,* | | B |

| | | | |
|---|---|---|---|
| | ἧς τινες ὀρεγόμενοι<br>ἀπεπλανήθησαν<br>ἀπὸ τῆς πίστεως<br>καὶ ἑαυτοὺς<br>περιέπειραν<br>ὀδύναις πολλαῖς.[11] | | |
| 6.11-6.12 | Σὺ δέ, ὦ ἄνθρωπε θεοῦ,<br>ταῦτα φεῦγε·<br>δίωκε δὲ<br>δικαιοσύνην, εὐσέβειαν, πίστιν, ) another listing<br>ἀγάπην, ὑπομονήν, πραϋπαθίαν.[12] )<br>ἀγωνίζου<br>τὸν καλὸν ἀγῶνα<br>τῆς πίστεως,<br>ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς,<br>εἰς ἣν ἐκλήθης<br>καὶ ὡμολόγησας<br>τὴν καλὴν ὁμολογίαν<br>ἐνώπιον πολλῶν μαρτύρων. | A | B’ |
| 6.13-6.16 | παραγγέλλω<br>ἐνώπιον τοῦ θεοῦ<br>τοῦ ζῳογονοῦντος τὰ πάντα<br>καὶ Χριστοῦ Ἰησοῦ<br>τοῦ μαρτυρήσαντος<br>ἐπὶ Ποντίου Πιλάτου<br>τὴν καλὴν ὁμολογίαν,[14]<br>τηρῆσαί σε τὴν ἐντολὴν<br>ἄσπιλον<br>ἀνεπίλημπτον<br>μέχρι τῆς ἐπιφανείας<br>τοῦ κυρίου ἡμῶν<br>Ἰησοῦ Χριστοῦ,[15]<br>ἣν καιροῖς ἰδίοις<br>δείξει<br>ὁ μακάριος καὶ μόνος δυνάστης,<br>ὁ βασιλεὺς τῶν βασιλευόντων<br>καὶ κύριος τῶν κυριευόντων,[16]<br>ὁ μόνος ἔχων ἀθανασίαν,<br>φῶς οἰκῶν<br>ἀπρόσιτον,<br>ὃν εἶδεν<br>οὐδεὶς ἀνθρώπων<br>οὐδὲ ἰδεῖν δύναται·<br>ᾧ τιμὴ<br>καὶ κράτος αἰώνιον·<br>ἀμήν.[17] | B | |
| 6.17-6.19 | Τοῖς πλουσίοις<br>ἐν τῷ νῦν αἰῶνι<br>παράγγελλε<br>μὴ ὑψηλοφρονεῖν<br>μηδὲ ἠλπικέναι<br>ἐπὶ πλούτου ἀδηλότητι,<br>ἀλλ’ ἐπὶ θεῷ<br>τῷ παρέχοντι ἡμῖν πάντα πλουσίως | B’ | |

| | | | |
|---|---|---|---|
| | εἰς ἀπόλαυσιν, [18]<br>ἀγαθοεργεῖν,<br>πλουτεῖν ἐν ἔργοις καλοῖς,<br>εὐμεταδότους εἶναι,<br>κοινωνικούς, [19]<br>ἀποθησαυρίζοντας ἑαυτοῖς<br>θεμέλιον καλὸν<br>εἰς τὸ μέλλον,<br>ἵνα ἐπιλάβωνται<br>τῆς ὄντως ζωῆς.[20] | | |

# CLOSING PLEA AND GRACE: 6.20-21

| | | | |
|---|---|---|---|
| 6.20-6.21 | Ὦ Τιμόθεε, τὴν παραθήκην φύλαξον,<br>ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας<br>καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως, [21]<br>ἥν τινες ἐπαγγελλόμενοι<br>περὶ τὴν πίστιν<br>ἠστόχησαν.<br>Ἡ χάρις μεθ᾽ ὑμῶν. | | |


© David G Palmer